Storia della Lingua Greca – Laurea Magistrale – 12.10.2015

Archil. fr. 19 W.^{2}

“οὔ μοι τὰ Γύγε͜ω τοῦ πολυχρύσου μέλει,
οὐδ᾽ εἶλέ πώ με ζῆλος, οὐδ᾽ ἀγαίομαι
θε͜ῶν ἔργα, μεγάλης δ᾽ οὐκ ἐρέ͜ω τυραννίδος·
ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν”.

Metro: trimetri giambici (3ia: ×–⏑–×⁞–⏑⁞–×–⏑⏓‖); sinizesi: vv. 1 Γύγε͜ω, 3 θε͜ῶν, ἐρέ͜ω; tribraco per giambo: v. 3 ἔργᾰ μεγᾰ́λης.

Plut. *Tranq. an.* 10, 470c (I); **(1)** Iub. Art. ap. Rufin. *GL* VI 563,18 (II); **(1–Γύγεω)** Arist. *Rh.* III 17, 1418b 23 (III), *schol. ad l.* (*CAG* XXI/2 256,6) (IV); **(3 μεγάλης–)** *schol.* Aesch. *Pr.* 224 (V). Cf. *Anacreont.* 8,1-4; **(1, 3)** *Et. Gud.* 537,26 Sturz ~ *Et. M.* 771,54; **(1 τὰ Γύγεω)** Hdt. I 12,2, Greg. Naz. *PG* XXXVII 683, 1453; **(3)** *Arg.* Soph. *OR* || **1** οὔ–μέλει testt. pll. : ΩΝΟΙΤΑΡΓΥΡΕΟΥΤΟΥΠΟΑΙΧΡΥΣΟΥ ΝΕΛΕΙ II(**R**) : ΩΛΣΕΙΤΑΡΓΥΡΕΟΥΤΟΥΠΟΛΙΧΡΥΣΟΥΜΕΛΕΙ II(**B**) : desunt Graeca in II(**A**) || **2** οὐδ᾽ εἶλε πώ με ζῆλος I(codd. pll.) : οὐδ᾽ εἰμ᾽ ἐγὼ ζηλωτὸς I(**C**^{1}**V**^{1}) | ἀγαίομαι I(codd. pll.) : ἀγάζομαι I(**S**^{2}**V**) || **3** ἐρέω Schneidewin : ἐρῶ I, V

Theogn. 39-52

⊗ Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης.
ἀστοὶ μὲν γὰρ ἔθ᾽ οἵδε σαόφρονες, ἡγεμόνες δὲ
τετράφαται πολλὴν εἰς κακότητα πεσεῖν.
οὐδεμίαν πω, Κύρν᾽, ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες,
ἀλλ᾽ ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἅδῃ
δῆμόν τε φθείρωσι δίκας τ᾽ ἀδίκοισι διδῶσιν
οἰκείων κερδέ͜ων εἵνεκα καὶ κράτεος·
ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμίεσθαι,
μηδ᾽ εἰ νῦν κεῖται πολλῇ ἐν ἡσυχίῃ,
εὖτ᾽ ἂν τοῖσι κακοῖσι φίλ᾽ ἀνδράσι ταῦτα γένηται,
κέρδεα δημοσίῳ σὺν κακῷ ἐρχόμενα.
ἐκ τῶν γὰρ στάσιές τε καὶ ἔμφυλοι φόνοι ἀνδρῶν
μούναρχοί τε· πόλει μήποτε τῇδε ἅδοι. ⊗

Metro: distici elegiaci (6da͵ hem hem: –⏖–⏖–⁞⏑⁞⏑–⁞⏖–⏖–⏓‖ –⏖–⏖–⁞–⏑⏑–⏑⏑⏓‖‖); sinizesi: v. 46 κερδέ͜ων; *correptio ‘epica’*: vv. 39 τέκῃ ἄνδρα, 48 πολλῇ ἐν, 50 κακῷ ἐρχόμενα, 51 καὶ ἔμφυλοι φόνοῐ ἀνδρῶν; monosillabo finale: v. 41 δέ.

A*o* (vd. ad T8) || **40** ἡμετέρης **A** : ὑμ- ***o*** || **42** εἰς **AXI** : ἐς **ODUr** || **45** φθείρωσι et διδῶσι codd. pll. : -ουσι (υ in ras.) et -οῦσι **A** || **46** κερδέων **AO** : -ῶν ***p*** || **47** ἀτρεμίεσθαι Wackernagel : ἀτρεμέεσθαι codd. (sine acc. **A**) || **51** στάσιές τε **A** : στάσις ἐστὶ ***o*** || **52** μούναρχοι **AO** : -ος ***p*** | τε Leutsch : δὲ codd.

Sol. fr. 4 W.^{2}

(⊗) ἡμετέρη δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ᾽ ὀλεῖται
αἶσαν καὶ μακάρων θε͜ῶν φρένας ἀθανάτων·
τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει·
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν
ἀστοὶ βούλονται χρήμασι πειθόμενοι,
δήμου θ᾽ ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον
ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν·

οὐ γὰρ ἐπίστανται κατέχειν κόρον οὐδὲ παρούσας
εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ
.....
πλουτέ͜ουσιν δ᾽ ἀδίκοις ἔργμασι πειθόμενοι
.....
οὔθ᾽ ἱερῶν κτεάνων οὔτε τι δημοσίων
φειδόμενοι κλέπτουσιν ἐφ᾽ ἁρπαγῇ ἄλλοθεν ἄλλος,
οὐδὲ φυλάσσονται σεμνὰ Δίκης θέμεθλα,
ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα πρό τ᾽ ἐόντα,
τῷ δὲ χρόνῳ πάντως ἦλθ᾽ ἀποτεισομένη,
τοῦτ᾽ ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον,
ἐς δὲ κακὴν ταχέως ἤλυθε δουλοσύνην,
ἣ στάσιν ἔμφυλον πόλεμόν θ᾽ εὕδοντ᾽ ἐπεγείρει,
ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην·
ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
τρύχεται ἐν συνόδοις τοῖς ἀδικέ͜ουσι φίλαις.
ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν
ἱκνέ͜ονται πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν
πραθέντες δεσμοῖσί τ᾽ ἀεικελίοισι δεθέντες
.....
οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ᾽ ἑκάστῳ,
αὔλειοι δ᾽ ἔτ᾽ ἔχειν οὐκ ἐθέλουσι θύραι,
ὑψηλὸν δ᾽ ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ πάντως,
εἰ καί τις φεύγων ἐν μυχῷ ᾖ θαλάμου.
ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
ὡς κακὰ πλεῖστα πόλει Δυσνομίη παρέχει·
Εὐνομίη δ᾽ εὔκοσμα καὶ ἄρτια πάντ᾽ ἀποφαίνει,
καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας·
τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
αὐαίνει δ᾽ ἄτης ἄνθεα φυόμενα,
εὐθύνει δὲ δίκας σκολιάς, ὑπερήφανά τ᾽ ἔργα
πραΰνει· παύει δ᾽ ἔργα διχοστασίης,
παύει δ᾽ ἀργαλέης ἔριδος χόλον, ἔστι δ᾽ ὑπ᾽ αὐτῆς
πάντα κατ᾽ ἀνθρώπους ἄρτια καὶ πινυτά. (⊗)

Metro: distici elegiaci (6da͵ hem hem: –⏑⏑–⏑⏑–⁝⏑⁝⏑–⁝⏑⏑–⏑⏑–⏓‖ –⏑⏑–⏑⏑–⁝–⏑⏑–⏑⏑⏓‖‖); sinizesi: vv. 2 θε͜ῶν, 11 πλουτέ͜ουσιν, 22 ἀδικέ͜ουσι, 24 ἱκνέ͜ονται; *correptio 'epica'*: vv. 13 ἁρπαγῇ ἄλλοθεν, 17 πόλεϊ ἔρχεταϊ ἕλκος, 22 τρύχεταϊ ἐν, 26 ἔρχεταϊ οἴκαδ᾽, 29 μυχῷ ᾖ, 32 καὶ ἄρτια; *correptio 'Attica'*: vv. 14 θέμἔθλα, 16 δὲ χρόνῳ, 31 κακὰ πλεῖστα; 'I legge di Schulze': v. 2 ἀθανάτων.

Dem. 19,254s. || **4** ἡμετέρη Camerarius : -α codd. || **11** ante et post hunc versum lacunam statt. edd. pll. | πλουτέουσιν Renner : -τοῦσιν codd. || **13** ἐφ᾽ ἁρπαγῇ **FuLpPu** : ἀφαρπαγῇ cum codd. pll. (-ῆ) Gentili-Prato, West : ἀφ᾽ ἁρπαγῆς **VgFjMq** || **15** ante σύνοιδε rasura 6-7 litt. in **F** : λέληθε **PRLp** : δ᾽ έληθε **Q** || **16** ἀποτεισομένη Hiller : -τισαμένη **FQY** : -τισομένη **B^{pc}Vg^{mg}** || **17** ἕλκος codd. pll. : ἕρ- **P^{pc}** || **18** ἐς *Ambr.* D 15 sup. : εἰς codd. pll. || **19** ἣ **CaVfVg** : ἢ **YP** : ἡ **FQ** | ἐπεγείρει **P^{pc}Cd^{pc}Mm**, *Pal.* gr. 104 : -ειν **FQ** : ἐπαγείρειν **YP^{ac}** || **22** τρύχεται codd. pll. : -τ᾽ **Q** | ἀδικέουσι Renner : -κοῦσι codd. | φίλαις Bergk : φίλοις **QY** : φίλους **F^{pc}**, West || **24** ἱκνέονται Renner : -νοῦνται codd. || **25** ἀεικελίοισι codd. pll. : ἀεικλεί- **Q** | δεθέντες **P^{pc}MnVg** : δοθ- **FQY** | post hunc versum lacunam statt. Schneidewin et Sauppe : παίκακα (*scil.* πάγκακα) δουλοσύνης ζυγὰ φέρουσι βία *Matr.* 4562 || **27** ἔτ᾽ **F^{pc}** : ὅτ᾽ **F^{ac}QY** || **28** πάντως **Fi^{pc}**, *Vind.* 4, *Vind.* 153 : πάντων **FQY** : πάντας **P$^{s.l.}$FjMq** || **29** εἰ **FQ** : ἢ **Lp** : ἡ **Y**, *Par.* gr. 2600, *Ambr.* D 15 sup., *Vind.* 153 | καί τις **Xm^{mg}** : γέ τις **FQY** | ἐν **FQY** : ἢ **CdLpR** | ᾖ Schneidewin : ἡ **FQ** : ἢ **Y** : καὶ **Mn** | θαλάμου Schneidewin : -μῳ **FQY** || **31s.** -ίη Bergk : -ία codd. || **34** λειαίνει codd. pll. (λει in rasura **F** : λι- *Ambr.* D 15 sup., *Par.* gr. 2600) : δ᾽ ἰαίνει **Q** : δι᾽ αἴνει **P**